8 αὐτοῦ καὶ εἶπεν Εἰ σὺ εἶ αὐτός, κύριέ μου Ηλιου; [8]καὶ εἶπεν Ηλιου
9 αὐτῷ Ἐγώ· πορεύου λέγε τῷ κυρίῳ σου Ἰδοὺ Ηλιου. [9]καὶ εἶπεν
Αβδιου Τί ἡμάρτηκα, ὅτι δίδως τὸν δοῦλόν σου εἰς χεῖρα Αχααβ
10 τοῦ θανατῶσαί με; [10]ζῇ κύριος ὁ θεός σου, εἰ ἔστιν ἔθνος ἢ βα-
σιλεία, οὗ οὐκ ἀπέσταλκεν ὁ κύριός μου ζητεῖν σε, καὶ εἶπον Οὐκ
ἔστιν· καὶ ἐνέπρησεν τὴν βασιλείαν καὶ τὰς χώρας αὐτῆς, ὅτι οὐχ
11 εὕρηκέν σε. [11]καὶ νῦν σὺ λέγεις Πορεύου ἀνάγγελλε τῷ κυρίῳ σου
12 Ἰδοὺ Ηλιου· [12]καὶ ἔσται ἐὰν ἐγὼ ἀπέλθω ἀπὸ σοῦ, καὶ πνεῦμα
κυρίου ἀρεῖ σε εἰς γῆν, ἣν οὐκ οἶδα, καὶ εἰσελεύσομαι ἀπαγγεῖλαι
τῷ Αχααβ, καὶ ἀποκτενεῖ με· καὶ ὁ δοῦλός σού ἐστιν φοβούμενος
13 τὸν κύριον ἐκ νεότητος αὐτοῦ. [13]ἢ οὐκ ἀπηγγέλη σοι τῷ κυρίῳ
μου οἷα πεποίηκα ἐν τῷ ἀποκτείνειν Ιεζαβελ τοὺς προφήτας κυρίου
καὶ ἔκρυψα ἀπὸ τῶν προφητῶν κυρίου ἑκατὸν ἄνδρας ἀνὰ πεντή-
14 κοντα ἐν σπηλαίῳ καὶ ἔθρεψα ἐν ἄρτοις καὶ ὕδατι; [14]καὶ νῦν σὺ
λέγεις μοι Πορεύου λέγε τῷ κυρίῳ σου Ἰδοὺ Ηλιου· καὶ ἀποκτε-
15 νεῖ με. [15]καὶ εἶπεν Ηλιου Ζῇ κύριος τῶν δυνάμεων, ᾧ παρέστην
16 ἐνώπιον αὐτοῦ, ὅτι σήμερον ὀφθήσομαι αὐτῷ. [16]καὶ ἐπορεύθη Αβδι-
ου εἰς συναντὴν τῷ Αχααβ καὶ ἀπήγγειλεν αὐτῷ· καὶ ἐξέδραμεν
Αχααβ καὶ ἐπορεύθη εἰς συνάντησιν Ηλιου.
17 [17]Καὶ ἐγένετο ὡς εἶδεν Αχααβ τὸν Ηλιου, καὶ εἶπεν Αχααβ πρὸς
18 Ηλιου Εἰ σὺ εἶ αὐτὸς ὁ διαστρέφων τὸν Ισραηλ; [18]καὶ εἶπεν
Ηλιου Οὐ διαστρέφω τὸν Ισραηλ, ὅτι ἀλλ᾽ ἢ σὺ καὶ ὁ οἶκος τοῦ
πατρός σου ἐν τῷ καταλιμπάνειν ὑμᾶς τὸν κύριον θεὸν ὑμῶν καὶ
19 ἐπορεύθης ὀπίσω τῶν Βααλιμ· [19]καὶ νῦν ἀπόστειλον συνάθροισον
πρός με πάντα Ισραηλ εἰς ὄρος τὸ Καρμήλιον καὶ τοὺς προφήτας
τῆς αἰσχύνης τετρακοσίους καὶ πεντήκοντα καὶ τοὺς προφήτας
20 τῶν ἀλσῶν τετρακοσίους ἐσθίοντας τράπεζαν Ιεζαβελ.⌐ [20]καὶ ἀπέ-
στειλεν Αχααβ εἰς πάντα Ισραηλ καὶ ἐπισυνήγαγεν πάντας τοὺς
21 προφήτας εἰς ὄρος τὸ Καρμήλιον. [21]καὶ προσήγαγεν Ηλιου πρὸς
πάντας, καὶ εἶπεν αὐτοῖς Ηλιου Ἕως πότε ὑμεῖς χωλανεῖτε ἐπ᾽

8 αυτω B†] > *O*†, τω αβδιου rel. | λεγε] ειπον A† || 9 διδως] δωσεις A† | χειρα BSy†] -ρας rel. || 10 εθνη A† | απεσταλκεν] -στειλεν B†, + με A | ειπον] pr. ει B† | την βασιλειαν .. τας χωρας αυτης] tr. A† || 11 συ λεγεις / πορ.] tr. A† | αναγγ.] pr. και A*L*† | ιδου ηλιου] > B$L^p$V†, in *O* sub ※ || 12 γην] pr. την B† | αχααβ] + ※και ουχ ευρησει σε *O*$L^p$ || 13 η *L*] και B*O* | ανηγγελη A† | αποκτεννειν A | εκρυψα απο των ... ανδρας B*O*†] ελαβον εκ των ... ανδρας και εκρυψα αυτους rel.: cf. 4 | πεντηκοντα] + ※πεντηκοντα(> A) ανδρας *O*† | σπηλαιω] δυο(uel τοις) -λαιοις *L*: cf. 4 | εθρεψα] + ※αυτους *O* | αρτω A || 14 μοι] > A$L^p$, in Sy sub ÷ | λεγε] pr. και A*L*† || 16 συναντην B†] -τησιν rel. || 17 init. — ηλιου $1^0$ > A† || 18 διαστρ.] + εγω *L* | επορευθη A | των] του A || 19 εις] + το *L*, πρὸς το A† | προφ. $1^0$] + ※του βααλ τετρακοσιους και(> A†) πεντηκοντα και τους(> A†) προφητας *O* | και ult. > A† || 20 επισυνηγ.] επι > A*L*† || 21 παντας] παντα ※τον λαον *OL* | υμεις χωλαν.] tr. A†



ἀμφοτέραις ταῖς ἰγνύαις; εἰ ἔστιν κύριος ὁ θεός, πορεύεσθε ὀπίσω
αὐτοῦ· εἰ δὲ ὁ Βααλ αὐτός, πορεύεσθε ὀπίσω αὐτοῦ. καὶ οὐκ
ἀπεκρίθη ὁ λαὸς λόγον. [22]καὶ εἶπεν Ηλιου πρὸς τὸν λαόν Ἐγὼ 22
ὑπολέλειμμαι προφήτης τοῦ κυρίου μονώτατος, καὶ οἱ προφῆται
τοῦ Βααλ τετρακόσιοι καὶ πεντήκοντα ἄνδρες, καὶ οἱ προφῆται τοῦ
ἄλσους τετρακόσιοι· [23]δότωσαν ἡμῖν δύο βόας, καὶ ἐκλεξάσθωσαν 23
ἑαυτοῖς τὸν ἕνα καὶ μελισάτωσαν καὶ ἐπιθέτωσαν ἐπὶ τῶν ξύλων
καὶ πῦρ μὴ ἐπιθέτωσαν, καὶ ἐγὼ ποιήσω τὸν βοῦν τὸν ἄλλον καὶ
πῦρ οὐ μὴ ἐπιθῶ· [24]καὶ βοᾶτε ἐν ὀνόματι θεῶν ὑμῶν, καὶ ἐγὼ 24
ἐπικαλέσομαι ἐν ὀνόματι κυρίου τοῦ θεοῦ μου, καὶ ἔσται ὁ θεός,
ὃς ἐὰν ἐπακούσῃ ἐν πυρί, οὗτος θεός. καὶ ἀπεκρίθησαν πᾶς ὁ
λαὸς καὶ εἶπον Καλὸν τὸ ῥῆμα, ὃ ἐλάλησας. [25]καὶ εἶπεν Ηλιου 25
τοῖς προφήταις τῆς αἰσχύνης Ἐκλέξασθε ἑαυτοῖς τὸν μόσχον τὸν
ἕνα καὶ ποιήσατε πρῶτοι, ὅτι πολλοὶ ὑμεῖς, καὶ ἐπικαλέσασθε ἐν
ὀνόματι θεοῦ ὑμῶν καὶ πῦρ μὴ ἐπιθῆτε. [26]καὶ ἔλαβον τὸν μόσχον 26
καὶ ἐποίησαν καὶ ἐπεκαλοῦντο ἐν ὀνόματι τοῦ Βααλ ἐκ πρωίθεν
ἕως μεσημβρίας καὶ εἶπον Ἐπάκουσον ἡμῶν, ὁ Βααλ, ἐπάκουσον
ἡμῶν· καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις· καὶ διέτρεχον ἐπὶ
τοῦ θυσιαστηρίου, οὗ ἐποίησαν. [27]καὶ ἐγένετο μεσημβρίᾳ καὶ ἐμυ- 27
κτήρισεν αὐτοὺς Ηλιου ὁ Θεσβίτης καὶ εἶπεν Ἐπικαλεῖσθε ἐν φωνῇ
μεγάλῃ, ὅτι θεός ἐστιν, ὅτι ἀδολεσχία αὐτῷ ἐστιν, καὶ ἅμα μήποτε
χρηματίζει αὐτός, ἢ μήποτε καθεύδει αὐτός, καὶ ἐξαναστήσεται.
[28]καὶ ἐπεκαλοῦντο ἐν φωνῇ μεγάλῃ καὶ κατετέμνοντο κατὰ τὸν 28
ἐθισμὸν αὐτῶν ἐν μαχαίραις καὶ σειρομάσταις ἕως ἐκχύσεως αἵμα-
τος ἐπ᾽ αὐτούς· [29]καὶ ἐπροφήτευον, ἕως οὗ παρῆλθεν τὸ δειλινόν. 29
καὶ ἐγένετο ὡς ὁ καιρὸς τοῦ ἀναβῆναι τὴν θυσίαν καὶ οὐκ ἦν
φωνή, καὶ ἐλάλησεν Ηλιου ὁ Θεσβίτης πρὸς τοὺς προφήτας τῶν
προσοχθισμάτων λέγων Μετάστητε ἀπὸ τοῦ νῦν, καὶ ἐγὼ ποιήσω
τὸ ὁλοκαύτωμά μου· καὶ μετέστησαν καὶ ἀπῆλθον. — [30]καὶ εἶπεν 30
Ηλιου πρὸς τὸν λαόν Προσαγάγετε πρός με· καὶ προσήγαγεν πᾶς
ὁ λαὸς πρὸς αὐτόν. [31]καὶ ἔλαβεν Ηλιου δώδεκα λίθους κατ᾽ ἀριθ- 31
μὸν φυλῶν τοῦ Ισραηλ, ὡς ἐλάλησεν κύριος πρὸς αὐτὸν λέγων
Ισραηλ ἔσται τὸ ὄνομά σου. [32]καὶ ᾠκοδόμησεν τοὺς λίθους ἐν 32

21 εστιν κυριος] tr. *O*† (εστιν sub ÷) | ο $2^0$ > B† | αυτος > B† (in *O* sub ÷) | ο λαος] add. (uel pr.) ※αυτω *O* || 22 οι ult. > A | τετρακ. ult. > *O*† || 23 και $3^0$ ⌒ $4^0$ A† | και ult.] pr. ※και δωσω επι τα ξυλα *O*† || 24 θεων] θεου *O*† || 25 επικαλεισθε *OL* || 26 μοσχον] + ※ον εδωκεν αυτοις *O*† || 28 κατα τον εθισμον αυτων] > B† (in *O* sub ※); το κριμα pro τον εθ. *O*† | μαχαιρα BSy† | σειρομ.] pr. εν *OL* || 29 επροφ. — εγενετο] εγενετο ως παρηλθεν το δειλινον και επροφητευον *O*† | επροφητευσαν B† | και ουκ ην φωνη] > B; + και ουκ ην ακροασις Sy: cf. 26 | ο θεσβ. > B || 30 fin.: cf. 32 || 31 του > B | ισραηλ $1^0$] ιακωβ *O*†

ὀνόματι κυρίου καὶ ἰάσατο τὸ θυσιαστήριον τὸ κατεσκαμμένον καὶ
ἐποίησεν θααλα χωροῦσαν δύο μετρητὰς σπέρματος κυκλόθεν τοῦ
33 θυσιαστηρίου. 33 καὶ ἐστοίβασεν τὰς σχίδακας ἐπὶ τὸ θυσιαστήριον,
ὃ ἐποίησεν, καὶ ἐμέλισεν τὸ ὁλοκαύτωμα καὶ ἐπέθηκεν ἐπὶ τὰς
34 σχίδακας καὶ ἐστοίβασεν ἐπὶ τὸ θυσιαστήριον. 34 καὶ εἶπεν Λάβετέ
μοι τέσσαρας ὑδρίας ὕδατος καὶ ἐπιχέετε ἐπὶ τὸ ὁλοκαύτωμα καὶ
ἐπὶ τὰς σχίδακας· καὶ ἐποίησαν οὕτως. καὶ εἶπεν Δευτερώσατε·
35 καὶ ἐδευτέρωσαν. καὶ εἶπεν Τρισσώσατε· καὶ ἐτρίσσευσαν. 35 καὶ
διεπορεύετο τὸ ὕδωρ κύκλῳ τοῦ θυσιαστηρίου, καὶ τὴν θααλα ἔπλη-
36 σαν ὕδατος. 36 καὶ ἀνεβόησεν Ηλιου εἰς τὸν οὐρανὸν καὶ εἶπεν Κύ-
ριε ὁ θεὸς Αβρααμ καὶ Ισαακ καὶ Ισραηλ, ἐπάκουσόν μου, κύριε,
ἐπάκουσόν μου σήμερον ἐν πυρί, καὶ γνώτωσαν πᾶς ὁ λαὸς οὗτος
ὅτι σὺ εἶ κύριος ὁ θεὸς Ισραηλ κἀγὼ δοῦλός σου καὶ διὰ σὲ πε-
37 ποίηκα τὰ ἔργα ταῦτα. 37 ἐπάκουσόν μου, κύριε, ἐπάκουσόν μου
ἐν πυρί, καὶ γνώτω ὁ λαὸς οὗτος ὅτι σὺ εἶ κύριος ὁ θεὸς καὶ σὺ
38 ἔστρεψας τὴν καρδίαν τοῦ λαοῦ τούτου ὀπίσω. 38 καὶ ἔπεσεν πῦρ
παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν τὸ ὁλοκαύτωμα καὶ
τὰς σχίδακας καὶ τὸ ὕδωρ τὸ ἐν τῇ θααλα, καὶ τοὺς λίθους καὶ
39 τὸν χοῦν ἐξέλιξεν τὸ πῦρ. 39 καὶ ἔπεσεν πᾶς ὁ λαὸς ἐπὶ πρόσ-
ωπον αὐτῶν καὶ εἶπον Ἀληθῶς κύριός ἐστιν ὁ θεός, αὐτὸς ὁ θεός.
40 40 καὶ εἶπεν Ηλιου πρὸς τὸν λαόν Συλλάβετε τοὺς προφήτας τοῦ
Βααλ, μηθεὶς σωθήτω ἐξ αὐτῶν· καὶ συνέλαβον αὐτούς, καὶ κατάγει
αὐτοὺς Ηλιου εἰς τὸν χειμάρρουν Κισων καὶ ἔσφαξεν αὐτοὺς ἐκεῖ.⌋
41 41 Καὶ εἶπεν Ηλιου τῷ Αχααβ Ἀνάβηθι καὶ φάγε καὶ πίε, ὅτι
42 φωνὴ τῶν ποδῶν τοῦ ὑετοῦ. 42 καὶ ἀνέβη Αχααβ τοῦ φαγεῖν καὶ
πιεῖν, καὶ Ηλιου ἀνέβη ἐπὶ τὸν Κάρμηλον καὶ ἔκυψεν ἐπὶ τὴν γῆν
καὶ ἔθηκεν τὸ πρόσωπον ἑαυτοῦ ἀνὰ μέσον τῶν γονάτων ἑαυτοῦ.
43 43 καὶ εἶπεν τῷ παιδαρίῳ αὐτοῦ Ἀνάβηθι καὶ ἐπίβλεψον ὁδὸν τῆς
θαλάσσης. καὶ ἐπέβλεψεν τὸ παιδάριον καὶ εἶπεν Οὐκ ἔστιν οὐθέν.

32 και ιασατο — κατεσκαμμ.] post 30 tr. *O* | θυσιαστηριον] + κυριου *OL* | θααλα(uel θαλαα) *L*] θαλασσαν B*O* pl.: item in 35, cf. 38 || 33 επι 2⁰ > B || 34 και εποιησαν ουτως] > A*L*†, in Sy sub ÷ | τρισσευσατε *L* | ετρισσωσαν A || 35 θααλα: cf. 32 || 36 init.] pr. ※και εγενετο κατα αναβασιν του δωρου *O*† | ισραηλ 1⁰] ιακωβ A | επακουσον 1⁰ — ουτος] σημερον γνωτωσαν *O*V† | ει > B† || 37 εν πυρι] > BA†, in Sy sub ÷ | γνωτωσαν A | ουτος > A† | ει > B | θεος] + μονος A† | εστρεψας] pr. επ A*L*† | οπισω] + σου *L* || 38 το ολοκαυτωμα *L* pl.] τα -ματα B*O* | και το υδωρ — θααλα / και τους — χουν] tr. *O* pl. | θααλα(uel θαλαα) *L*†] θαλασση B*O*: cf. 32 || 39 init. — λαος] ※και ειδεν(A† -δαν) πας ο λαος και επεσον(A† -σαν) *O*† | κυριος — fin.] κυριος ※αυτος⸔ εστιν ο θεος ※κυριος⸔ αυτος ※εστιν⸔ ο θεος *O*† (ο θεος 1⁰⌒2⁰ A) | εστιν] > B, post αυτος tr. *L* || 40 ηλιου ult. > A† || 41 τω] προς A† || 42 επι τον καρμ.] εις την κορυφην του καρμηλου *O*† | το > A† || 43 και 3⁰ B*L*†] pr. ※και ανεβη rel.



καὶ εἶπεν Ηλιου Καὶ σὺ ἐπίστρεψον ἑπτάκι· καὶ ἐπέστρεψεν τὸ
παιδάριον ἑπτάκι. 44 καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ καὶ ἰδοὺ νεφέλη 44
μικρὰ ὡς ἴχνος ἀνδρὸς ἀνάγουσα ὕδωρ· καὶ εἶπεν Ἀνάβηθι καὶ
εἰπὸν τῷ Αχααβ Ζεῦξον τὸ ἅρμα σου καὶ κατάβηθι, μὴ καταλάβῃ
σε ὁ ὑετός. 45 καὶ ἐγένετο ἕως ὧδε καὶ ὧδε καὶ ὁ οὐρανὸς συν- 45
εσκότασεν νεφέλαις καὶ πνεύματι, καὶ ἐγένετο ὑετὸς μέγας· καὶ
ἔκλαιεν καὶ ἐπορεύετο Αχααβ εἰς Ιεζραελ. 46 καὶ χεὶρ κυρίου ἐπὶ τὸν 46
Ηλιου, καὶ συνέσφιγξεν τὴν ὀσφὺν αὐτοῦ καὶ ἔτρεχεν ἔμπροσθεν
Αχααβ ἕως Ιεζραελ.⌋
1 Καὶ ἀνήγγειλεν Αχααβ τῇ Ιεζαβελ γυναικὶ αὐτοῦ πάντα, ἃ ἐποί- 19
ησεν Ηλιου, καὶ ὡς ἀπέκτεινεν τοὺς προφήτας ἐν ῥομφαίᾳ. 2 καὶ 2
ἀπέστειλεν Ιεζαβελ πρὸς Ηλιου καὶ εἶπεν Εἰ σὺ εἶ Ηλιου καὶ ἐγὼ
Ιεζαβελ, τάδε ποιήσαι μοι ὁ θεὸς καὶ τάδε προσθείη, ὅτι ταύτην
τὴν ὥραν αὔριον θήσομαι τὴν ψυχήν σου καθὼς ψυχὴν ἑνὸς ἐξ
αὐτῶν. 3 καὶ ἐφοβήθη Ηλιου καὶ ἀνέστη καὶ ἀπῆλθεν κατὰ τὴν 3
ψυχὴν ἑαυτοῦ καὶ ἔρχεται εἰς Βηρσαβεε τὴν Ιουδα καὶ ἀφῆκεν τὸ
παιδάριον αὐτοῦ ἐκεῖ· 4 καὶ αὐτὸς ἐπορεύθη ἐν τῇ ἐρήμῳ ὁδὸν 4
ἡμέρας καὶ ἦλθεν καὶ ἐκάθισεν ὑπὸ ραθμ ἓν καὶ ᾐτήσατο τὴν ψυ-
χὴν αὐτοῦ ἀποθανεῖν καὶ εἶπεν Ἱκανούσθω νῦν, λαβὲ δὴ τὴν ψυ-
χήν μου ἀπ' ἐμοῦ, κύριε, ὅτι οὐ κρείσσων ἐγώ εἰμι ὑπὲρ τοὺς πα-
τέρας μου. 5 καὶ ἐκοιμήθη καὶ ὕπνωσεν ἐκεῖ ὑπὸ φυτόν, καὶ ἰδού 5
τις ἥψατο αὐτοῦ καὶ εἶπεν αὐτῷ Ἀνάστηθι καὶ φάγε. 6 καὶ ἐπέβλε- 6
ψεν Ηλιου, καὶ ἰδοὺ πρὸς κεφαλῆς αὐτοῦ ἐγκρυφίας ὀλυρίτης καὶ
καψάκης ὕδατος· καὶ ἀνέστη καὶ ἔφαγεν καὶ ἔπιεν. καὶ ἐπιστρέ-
ψας ἐκοιμήθη. 7 καὶ ἐπέστρεψεν ὁ ἄγγελος κυρίου ἐκ δευτέρου καὶ 7
ἥψατο αὐτοῦ καὶ εἶπεν αὐτῷ Ἀνάστα φάγε, ὅτι πολλὴ ἀπὸ σοῦ
ἡ ὁδός. 8 καὶ ἀνέστη καὶ ἔφαγεν καὶ ἔπιεν· καὶ ἐπορεύθη ἐν τῇ 8
ἰσχύι τῆς βρώσεως ἐκείνης τεσσαράκοντα ἡμέρας καὶ τεσσαρά-
κοντα νύκτας ἕως ὄρους Χωρηβ. 9 καὶ εἰσῆλθεν ἐκεῖ εἰς τὸ σπή- 9
λαιον καὶ κατέλυσεν ἐκεῖ· καὶ ἰδοὺ ῥῆμα κυρίου πρὸς αὐτὸν καὶ
εἶπεν Τί σὺ ἐνταῦθα, Ηλιου; 10 καὶ εἶπεν Ηλιου Ζηλῶν ἐζήλωκα 10

43 επτακι 1⁰] + και αποστρεψον επτακι B†, pr. και επιβλεψον *L*† | επεστρεψεν] απεστρ. B† || 44 υδωρ B*O*] + απο θαλασσης *L* pl. | τω ult. > B† || 45 ωδε 2⁰] pr. εως *O* | υετος] pr. ο BA | εκλαιεν] ι > B†: cf. Thack. p. 272 | επορευθη A† | εις B*OL*†] εως rel.: ex 46 | ισραηλ B: item in 46 || 46 επι B†] pr. ※εγενετο rel. | εως] εις B†: ex 45; + ※του ελθειν εις *O* (A† om. εως)

19 1 τους] pr. παντας *O*† || 2 ιεζαβελ 1⁰] + ※αγγελον *O* | ποιησαι μοι ο θεος et προσθειη B†] ποιησαισαν μ. οι θεοι et προσθειησαν rel.: cf. 21 10 | ταυτην / την ωραν] tr. *O*† || 3 την 2⁰ A†] η εστι του *L*†, γην rel. || 4 υπο(cf. 5. 13) ραθμ εν Ra.] υποκατω ραθμεν mss. (A† ραμαθ, *L*† ραθαμειν pro ραθμεν) | νυν] + ※κυριε *O*† (απ εμου κυριε seq. sub ÷) | δη > A† || 5 και ult. > A† || 6 καμψακης A*L*ᵖ || 7 αναστηθι *OL* || 8 ορους] + ※του θεου *O* | χωρηβ] pr. του A || 10 εζηλωσα A†